**10** *Ὅπερ ἐστίν, ὦ Σώκρατες* [452d 5]: ὁ Γοργίας ἀποκρίνεταί καί φησιν ὅτι ʻἐκεῖνό μού ἐστι τὸ ἔργον, ὅπερ 39 τῇ ἀληθείᾳ μέγιστόν ἐστιν ἀγαθὸν καὶ | αἴτιον ἅμα μὲν τῆς ἐλευθερίας τοῖς ἀνθρώποις, ἅμα δὲ τοῦ ἄλλων ἄρχειν ἕκαστον ῥήτορα ἐν τῇ αὑτοῦ πόλειʼ. ἰστέον δὲ ὅτι κακῶς λέγει· πῶς γὰρ ἐλευθερίας ἐστὶν αἴτιος ὁ τὴν ἑαυτοῦ δουλείαν μὴ ἀποβάλλων, λέγω δὴ τὴν τῶν παθῶν; ὡς γὰρ εἴρηται ἐν ταῖς Πολιτείαις ὑπὸ τοῦ Σοφοκλέους, λυττῶντι κυνὶ καὶ ἀγρίῳ δεσπότῃ τὰ πάθη ἐοίκασιν. ἡ οὖν ῥητορικὴ αὕτη καὶ πρὸς τὸ κακὸν ὁρῶσα οὐ δύναται ἐλευθερίαν τίκτειν. ἄλλως τε οὐδὲ κρατεῖ πάντων, ἀλλὰ καὶ κρατεῖται· αἱ γὰρ τέχναι ἀλλήλων χρῄζουσιν, ὥστε εἰ καὶ ὁ ἰατρὸς πρᾶγμα ἔχων χρῄζῃ τοῦ ῥήτορος, ἀλλὰ καὶ ὁ ῥήτωρ νοσῶν χρῄζει τοῦ ἰατροῦ καὶ παρακαλεῖ αὐτόν.

**11** *Καίτοι ἐν ταύτῃ τῇ δυνάμει* [452e 4—5]: ἰδοὺ ὁ Σωκράτης νῦν δύναμιν αὐτὴν καλεῖ, προϊὼν δὲ δείξει αὐτὴν μὴ οὖσαν δύναμιν· ἡ γὰρ δύναμις ἀεὶ πρὸς τὸ ἀγαθὸν ὁρᾷ. λέγει οὖν αὐτῷ ὅτι ʻεἰ οὕτως ἐπαγγέλλῃ, ἕξεις πάντας δούλους, καὶ τὸν ἰατρὸν καὶ τὸν παιδοτρίβην καὶ τὸν χρηματιστήνʼ. εἴρηται δὲ ὅπως ἀλλήλων αἱ τέχναι δέονται.

**12** *Ἐγὼ γὰρ εὖ ἴσθι ὅτι, ὡς ἐμαυτὸν πείθω* [453a 8—b 1]: ἔχει δεῖξαι τὸν τρόπον τῆς κατὰ πεῦσιν καὶ ἀπόκρισιν προφορᾶς διττόν, τὸν μὲν πρὸς νίκην ὁρῶντα, τὸν δὲ πρὸς εὕρεσιν ἀληθείας. διαφέρουσι τοίνυν ἀλλήλων οὗτοι οἱ τρόποι κατά τε τὴν γνῶσιν καὶ τὴν ζωήν· κατὰ μὲν ⟨τὴν⟩ ζωήν, ὅτι ὁ μὲν διὰ τὴν εὕρεσιν τῆς ἀληθείας θέλει καὶ ἐλέγχεσθαι καὶ μετὰ φιλίας ἀναχωρεῖν, ὁ δὲ πρὸς νίκην ὁρῶν οὐ θέλει ἐλέγχεσθαι ἀλλʼ εἰκὸς καὶ τύπτειν τὸν προσδιαλεγόμενον, ⟨ὡς⟩ καὶ τοὺς ἀκροατὰς ἄχθεσθαι· κατὰ δὲ τὴν γνῶσιν, ὅτι θέλει μετὰ ἀγνοίας νικᾶν ὁ πρὸς

**mg.** 8 ση.